Τυπικὸν [illegible] ...

... Ἐνετίῃσιν 1545 —

in fol. 196 ff. n. ch. [illegible]

[illegible] 18ου αἰῶνος.

Bibl. Legrand. I. Vol. P. 268.

No 114. Précieux volume de la plus insigne rareté

---

Note.. On [illegible] —

B

# ΤΥΠΙΚΟΝ ΚΑΙ ΤΑ ΑΠΟΡΡΗΤΑ

Ἀνδρίου  Κουνάδου.

Con Priuilegio dello Illustrissimo Senato Veneto, che per anni dieci niuno ardisca la presente opera Greca intitolata Typicon, stampare, ne far stampare, ne stampata uendere in tutti i luoghi del suo Dominio, sotto le pene in esso priuilegio contenute, come amplamente nel prefato appare.

## ΤΟΙΣ ΕΝ ΤΩ ΑΓΙΩΤΑΤΩ ΚΛΗΡΩ, ΣΥΝΑΡΙΘΜΟΥΜΕΝΟΙΣ ΧΡΙΣΤΙΑΝΟΙΣ ΟΡΘΟΔΟΞΟΙΣ, ΑΝΔΡΟΝΙΚΟΣ ΝΟΥΚΙΟΣ Ο ΚΕΡΚΥΡΑΙΟΣ, ΕΝ ΚΥΡΙΩ ΧΑΙΡΕΙΝ.

Πολλάκις μοι ἀπορῆσαι συνέβη, τίνος χάριν οἱ θεοτίμητοι μύσται καὶ πρόσπολοι τοῦ θεανθρώπου Ἰησοῦ, οἱ τὰς ἱερὰς βύβλους, πρὸ ἡμῶν ἐντυποῦν ἐγχειρήσαντες, καὶ τοῦ δὴ λεγομένου τυπικοῦ σὺν ταῖς αὐτοῦ ἀπορρήτοις οὐκ ἐμνήσθησαν. διοῦ δὴ καὶ ταῖς ἄλλαις ἁπάσαις βύβλοις, λέγω δὴ ταῖς πρὸς ἐκκλησιαστικὴν συντεινούσαις ἀκολουθίαν, χρῆσθαι πρὸς δόξαν, καὶ ὕμνον τοῦ παμβασιλέως θεοῦ, καλῶς καὶ ἀπταίστως ἔχομεν. Οὐ γὰρ οὖν οἴομαι τοὺς ἄνδρας, διά τινα ῥαθυμίαν, ἢ φειδοῖ χρημάτων, ἐς τὸ ἀναβαλέσθαι τοὔργον. ἔγνων γὰρ αὐτοὺς πολλοῦ ἀναλώματος, κρείττονας γεγονότας. ἀλλὰ τί δὴ οὖν τὸ αἴτιον ἦν; τὸ τὴν βύβλον σπάνιον, καὶ δυσεύρετον, τοῖς τῆδε τυγχάνουσαν. εἰ δὲ γοῦν καὶ παρά τισιν εὑρίσκετο, ἀλλ' οὐχ οὕτως ὑγιὴς καὶ ὁλόκληρος, ὡς παρ' ἐμοί. ἡμεῖς γὰρ πολλὰ πονήσαντες, καὶ διὰ πολλῶν ἄλλων ἀντιγράφων συγκρούσαντες διωρθώσαμεν. Καὶ νῦν κεκρικότες ἐσμέν, τὴν βύβλον κοινὴν, καὶ τοῖς πᾶσιν εὔπορον ποιῆσαι, πολλάκις εἰς τοῦτο, καὶ ἄλλων τινῶν θεοσεβῶν ἀνδρῶν παροτρυνάντων με, διὸ καὶ τοῖς χαλκογράφοις αὐτὴν ἐκδεδώκαμεν, πολλαπλασιασθῆναι. καὶ ἐξ αὐτῆς ὡς ἀπό τινος στελέχους γονιμωτάτου, μυρίας ἄλλας ἀναφυομένας φανῆναι. συνεργῷ χρησάμενοι, καὶ χορηγῷ τῆς δαπάνης ἁπάσης, Δαμιανῷ τῷ φιλοχρίστῳ ἀνδρί. Τὸ δὲ τὴν βύβλον ἐμὲ συνιστᾶν, ὡς ἀναγκαίαν καὶ πολὺ ὠφέλιμον, περιττὸν ἡγησάμην. τίς γὰρ οὐκ οἶδεν, ὦ φίλοι καὶ σεβάσμιοί μοι πατέρες, ὡς οἷόν τις στάθμη, καὶ κανὼν, καὶ τύπος ἐστὶ, τοῖς ὀρθοδόξως ζῆν προαιρουμένοις. δι' αὐτῆς γὰρ ἔστιν εἰδέναι, πότε δὴ κρεῶν, καὶ ἰχθύων ἐναίμων γεύεσθαι, καὶ πότ' οὐχί. καὶ πότε ἑορτασίμους ἄγειν ἡμέρας, καὶ πότε μνησίμους. καὶ πότε παννυχίσιν ἀγρυπνίαις, καὶ δοξολογίαις χρῆσθαι, καὶ πότε, οὔ. ὡς μὲν οὖν εἰς κοινὴν ὠφέλειαν ἡ βύβλος τυπωθεῖσα ἐξέδοτο, οὐ δεῖ με περὶ τούτου περαιτέρω διατείνεσθαι, ἵνα μὴ τοῖς πρὸς

ἐλλείματα ῥίψη λαθοῦσιν, οὐκ ἀπεικότως, ἀπειρόκαλοι φανείημεν. ὡς δὲ
ὑμέτερον ἂν εἴη, μὴ τὸν ἡμῶν κάματον ἐκφαυλίζειν, τοῦτο καὶ μάλα κα-
λῶς οἶδα, εἴ που καὶ ἡμᾶς γράμμα διεφθαρμένον ἢ καὶ μὴ καλῶς πρὸς
ὀρθογραφίαν ἔχον παρέδραμε. ἀλλὰ τὸ ἐλλιπὲς ἀναπληροῦν, καὶ
πρὸς ἡμᾶς εὐγνωμόνως ἔχειν, ὡς αἰτίους γενομένους, ταυτηνὶ τὴν ψυ-
χωφελῆ, τυπωθῆναι βίβλον. ἔσται δὲ ὅπως τοῦτο, ἂν τὸ βιβλίον
ἀσπασίως τύχητε ὠνησάμενοι. κἂν ταῖς ἱεραῖς μυσταγωγίαις
ἀμφοτέρων ἡμῶν, μνείαν οὐκ ὀκνήσητε ποιήσασθαι.

Ἔρρωσθε. ἀπὸ Ἐνετῶν.

# ΤΥΠΙΚΟΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ
## ΑΚΟΛΟΥΘΙΑΣ ΤΗΣ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΑΓΙΑΣ ΛΑΥΡΑΣ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΑΒΒΑ. ΑΥΤΗ ΔΕ Η ΑΚΟΛΟΥΘΙΑ ΓΙΝΕΤΑΙ ΚΑΙ ΕΝ ΤΑΙΣ ΛΟΙΠΑΙΣ ΤΩΝ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ ΜΟΝΩΝ· ΕΤΙ ΔΕ ΚΑΙ ΕΝ ΤΑΙΣ ΚΑΤΑ ΤΟΠΟΝ ΑΓΙΑΙΣ ΤΟΥ ΘΕΟΥ ΕΚΚΛΗΣΙΑΙΣ.

### Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ. Κεφάλαιον, α΄.

Πρὸ τοῦ δῦναι τὸν ἥλιον, ἤγουν περὶ ὥραν δεκάτην τῆς ἡμέρας, εἰσέρχεται ὁ κανδηλάπτης καὶ ποιεῖ μετάνοιαν τῷ προεστῶτι. Καὶ κατελθὼν σημαίνει τὸ μικρόν. Καὶ συναχθέντων τῶν ἀδελφῶν ἐν τῇ ἐκκλησίᾳ, ἄρχεται ὁ ἱερεὺς λέγων. Εὐλογητὸς ὁ θεὸς ἡμῶν. Εἶτα ἄρχεται ὁ ἐκκλησιάρχης· Δεῦτε προσκυνήσωμεν. Καὶ ψάλλει τὸν προοιμιακὸν ψαλμόν, τό, Εὐλόγει ἡ ψυχή μου, ἡσύχῳ φωνῇ καὶ ἠρεμαίᾳ, εἶθ' οὕτως λέγομεν, τό, Κύριε ἐκέκραξα εἰς τὸν ἦχον τῆς κυριακῆς. Ἱστῶμεν δὲ στίχους ι΄. Καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου, γ΄. Δ ὑπερθῶμεν τὸ ἕν. Δόξα, καὶ νῦν, θ΄. τὸ πρῶτον τοῦ ἤχου. Εἶτα τὸ Φῶς ἱλαρόν, προκείμενον. Ὁ κύριος ἐβασίλευσεν. Ἀπόδε, τοῦ Καταξίωσον, στιχηρὸν τοῦ ἤχου τὸ ἀναστάσιμον. Καὶ ἕτερα τῆς θεοτόκου προσόμοια, γ΄. Δόξα, καὶ νῦν, θ΄, τό, Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ ἀναστάσιμον ἀπολυτίκιον, καὶ ἀπόλυσις.

Τυπι

### β΄. Εἴδησις τοῦ μεγάλου ἑσπερινοῦ, καὶ τῆς ἀγρυπνίας, διάταξις.

Μετὰ τὸ δῦναι τὸν ἥλιον μικρόν, ἀπέρχεται ὁ κανδηλάπτης. Καὶ ποιεῖ μετάνοιαν τῷ προεστῶτι. Εἶτα εἰσέρχεται καὶ κρούει τὰς βδρέας σχολέως, ψ ἄλλον καὶ τὸν ἅμωμον. Μετὰ δὲ τὸ πλήρωμα τούτων, ἀπέρχεται καὶ ἅπτει τὰς κανδήλας. Καὶ εὐτρεπίσας τὸν θυμιατόν, τίθησι λαμπάδας μετὰ κηρομανουάλια, εἰς τὸ μέσον τῆς ἐκκλησίας. Ἔπειτα ἐξερχόμενος, σημαίνει τὸ μέγα. Εἶτα τὸ σιδηροῦν. Καὶ ὑποστρέψας, ἵσταται κατέναντι τῶν ἁγίων θυρῶν. Ὁ δὲ ἱερεὺς ἀναστὰς ποιεῖ μετάνοιαν τῷ ἡγουμένῳ, ἢ εἰς τὸν τόπον αὐτοῦ. Δῆλον ὅτι μὴ ἐνδημοῦντος. Καὶ ἀπελθὼν ποιεῖ μετανοίας, γ΄, ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν ἐξ αὐτῶν τῶν ἀδελφῶν καθημένων.

a α iii

Εἰσελθὼν δὲ καὶ εἰς τὸ ἅγιον βῆμα, λέγει τὴν τοῦ θυμιάματος εὐχὴν καθ᾽ ἑαυτόν. Ὁ δὲ κανδηλάπτης, ἐκφωνεῖ. Κελεύσατε, γεγωνοτέρα φωνῇ. Κρατῶν καὶ τὴν λαμπάδα ἐν τῇ χειρὶ αὐτοῦ. Θυμιάσας δὲ ὁ ἱερεὺς σταυροειδῶς τὴν ἁγίαν τράπεζαν καὶ ὅλον τὸ θυσιαστήριον. Ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν. Καὶ ποιήσας σταυρὸν μετὰ τοῦ θυμιατοῦ κατ᾽ ἐνώπιον τοῦ ἱλαστηρίου. Ἀπέρχεται καὶ θυμιᾷ τὴν εἰκόνα τοῦ ἁγίου. Εἶτα τὸν καθηγούμενον, καὶ εἰς τοὺς δύο χοροὺς κατὰ τάξιν. Τῆς λαμπάδος δηλονότι προπορευομένης αὐτοῦ. Ἐξελθὼν δὲ καὶ εἰς τὸν νάρθηκα καὶ θυμιάσας κἀνταῦθα τοὺς ἀδελφοὺς κατὰ τάξιν, ὑποστρέφει. Καὶ εἰσελθὼν ἔσω τῆς βασιλικῆς πύλης, χαράττει μετὰ τοῦ θυμιατοῦ σταυρόν. Καὶ ἐκφωνεῖ μεγαλοφώνως, τό. Κύριε εὐλόγησον. Καὶ θυμιᾷ αὖθις τὸν προεστῶτα, ἢ εἰς τὸν τόπον αὐτοῦ. Εἶτα τὸν ἅγιον. Καὶ εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τραπέζης. Καὶ ποιεῖ σταυροὺς τρεῖς μετὰ τοῦ θυμιατοῦ. Τελευταῖον ἐκφωνεῖ οὕτως. Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ μετὰ τὸ ἀμήν. Ἄρχεται ὁ προεστὼς ἢ ὁ ἐκκλησιάρχης.

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν, Χῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ. Λέγοντες αὐτὸ δὶς μεγαλοφώνως καὶ μετὰ μέλους. Εἶτα πάλιν. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν, Χῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Λέγοντες καὶ τοῦτο ἅπαξ. Εἶθ᾽ οὕτως. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν, αὐτῷ Χῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Εἶτα ἄρχεται ὁ ἐκκλησιάρχης γεγωνοτέρα φωνῇ, εἰς ἦχον πλ. δ´, τό. Εὐλόγει ἡ ψυχή μου τὸν κύριον. Ἀργῶς καὶ μετὰ μέλους. Συμψαλλόντων αὐτῷ καὶ τῶν λοιπῶν ἀδελφῶν. Ὁ δὲ ἱερεὺς μετὰ τοῦ κανδηλάπτου, ἐξελθὼν τοῦ ἁγίου θυσιαστηρίου, καὶ ποιήσας μετάνοιαν κατ᾽ ἐνώπιον τῶν ἁγίων θυρῶν. Ὡσαύτως καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν, ἀπερχόμενος ἵσταται εἰς τὸ στασίδιον αὐτοῦ. Ὅτε δὲ φθάσωμεν τὸν στίχον, τό. Ἀνοίξαντός σου τὴν χεῖρα, ποιεῖ ὁ ἐκκλησιάρχης μετάνοιαν τῷ ἡγουμένῳ, καὶ ἀναφωνεῖ τὸν στίχον ὑψηλότερον. Πληρουμένου δὲ τοῦ ψαλμοῦ, γίνεται σιωπὴ μεγάλη ἕως τοῦ διακόνου. Καὶ ἐκφωνεῖ ὁ ἱερεύς. Ὅτι πρέπει σοι πᾶσα δόξα.

Ἰστέον δέ, ὅτι ὅταν λέγωμεν τό, Ἀνοίξαντός σου τὴν χεῖρα. Ὁ ἱερεὺς ἀπελθὼν λέγει τὰς εὐχὰς τοῦ λυχνικοῦ ἱστάμενος ἀσκεπής, ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Εἶτα στιχολογοῦμεν τὸ κάθισμα ἤγουν, τό. Μακάριος ἀνήρ, μετὰ μέλους εἰς ἦχον πλ. δ´. Εἰς δὲ τὸν γ´ ψαλμόν, ἀναρροοῦμεν μικρὸν τὸ δεύτερον καὶ γ´, ἀντίφωνον, εἰς τὸν ἦχον τῆς ἡμέρας. Ἐν ἑκάστῳ δὲ ἀντιφώνῳ, ποιεῖ ὁ διάκονος μικρὰν συναπτήν, καὶ ὁ ἱερεὺς ἐκφωνεῖ. Ὁ δὲ ταχθεὶς μοναχὸς ἡμερονάρχην. Μετὰ τὴν συμπλήρωσιν τῆς συνήθους στιχολογίας, λέγει τὸν ἦχον, καὶ ψάλλομεν τό, Κύριε ἐκέκραξα εἰς τὸν τυχόντα ἦχον τῆς ὀκτωήχου. Εἶτα θυμιᾷ ὁ ἱερεύς, ἢ ὁ διάκονος, ὡς ἔθος ἐστί.

Π αῶν

Ποιῶν τὴν συνήθη μετάνοιαν τῷ καθηγουμένῳ. Ἡμεῖς δὲ ἱστῶμεν στίχους ι΄. Ἀπὸ τοῦ ἐξάγαγε ἐκ φυλακῆς. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα, γ΄, τοῦ ἤχου. καὶ ἀνατολικά, δ΄, καὶ τοῦ ἀνηφαίου, γ΄. Εἰς τὸ δόξα καὶ νῦν θ΄, τοῦ ἤχου, τὸ κατὰ τὴν ἡμέραν τὸ α΄. Εἰς δὲ τὸν στίχον, τό, ὅτι ἐκραταιώθη.

Ἀπέρχεται ὁ ἱερεύς, καὶ ὁ διάκονος, καὶ ποιοῦσι μετάνοιαν τῷ προεστῶτι, ἢ εἰς τὸν τόπον αὐτοῦ ὡς προείρηται. Καὶ εἰσελθὼν ἀλλάσσουσι τὴν ἱερατικὴν στολήν, ἐν τῷ διακονικῷ. Καὶ ἐξελθόντες ἐν τῷ ναῷ εἰσοδεύουσι μετὰ τοῦ θυμιατοῦ. Τῶν λαμπάδων προπορευομένων αὐτῶν. Οἱ δὲ ἀδελφοὶ πάντες ἀποσκεπάζονται ἑνουμένων τῶν δύο χορῶν. Εἶτα ὁ διάκονος χαράττων σταυρὸν μετὰ τοῦ θυμιατοῦ, λέγων. Σοφία ὀρθοί. Καὶ ἡμεῖς τὸ φῶς ἱλαρόν. Μετὰ δὲ τὴν εἴσοδον ὁ ταχθεὶς μοναχὸς βαλὼν τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, ψάλλει τὸ τῆς ἡμέρας προκείμενον, δίστιχον. Ὁ κύριος ἐβασίλευσεν. στίχ. α΄. Ἐνεδύσατο κύριος δύναμιν, στίχ. β΄. Καὶ γὰρ ἐστερέωσεν, τὴν σ- στραφεὶς δὲ πρὸς δυσμάς, δεδεμένας ἔχων τὰς χεῖρας, ἵσταται περιμένων τὴν πλήρωσιν τοῦ προκειμένου. Εἶτα βάλλει μετάνοιαν καὶ ἀπέρχεται εἰς τὸν τόπον αὐτοῦ. Μετὰ δὲ τὸ προκείμενον λέγει ὁ διάκονος. Εἴπωμεν πάντες ἐξ ὅλης ψυχῆς. Καὶ ποιεῖ τὴν συνήθη ἐκτενῆ. Καὶ ἡμεῖς τό, Καταξίωσον κύριε. Ὁ διάκονος πάλιν. Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ κυρίῳ, καὶ τὰ λοιπά. Καὶ ἐκφωνεῖ ὁ ἱερεύς. Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις. Εἰρήνη πα-

Ξύπ.

σι. Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνατε. Καὶ λέγει ὁ ἱερεὺς τὴν εὐχὴν μυστικῶς, καὶ ἐκφωνεῖ. Εἴη τὸ κράτος τῆς βασιλείας σου. Εἶθ' οὕτως ψάλλομεν ἰδιόμελα τοῦ κατὰ τὴν μονὴν ἁγίου, εἰς τὸν ἦχον τῆς ἡμέρας, λιτανεύοντες ἐν τῷ νάρθηκι. Τοῦ ἱερέως προπορευομένου μετὰ θυμιατοῦ καὶ λαμπάδων. Δόξα καὶ νῦν, θ΄. Μετὰ ταῦτα ἐκφωνεῖ ὁ ἱερεὺς εἰς ἐπήκοον πάντων·

Σῶσον ὁ θεὸς τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς. ὕψωσον κέρας χριστιανῶν καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου μαρίας. τῶν τιμίων καὶ ἐπουρανίων δυνάμεων ἀσωμάτων. τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ ἰωάννου. τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων. τοῦ ἁγίου τοῦδε, καὶ πάντων σου τῶν ἁγίων, ἱκετεύομέν σε πολυέλεε κύριε, ἐπάκουσον ἡμῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς. Οἱ δὲ ἀδελφοὶ λέγουσιν τὸ κύριε ἐλέησον, μ΄.

Καὶ πάλιν ὁ ἱερεὺς ἐκφωνεῖ.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβεστάτων, καὶ θεοφυλάκτων βασιλέων ἡμῶν. κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας ἐπισκέψεως, καὶ ἀφέσεως ἁμαρτιῶν, καὶ τοῦ κύριον τὸν θεὸν ἡμῶν, ἐπὶ πλεῖον συνεργῆσαι, κατευοδῶσαι αὐτοῖς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν, πάντα ἐχθρὸν καὶ πολέμιον, εἴπωμεν.

Οἱ δὲ ἀδελφοί, τὸ κύριε ἐλέησον, λ΄.

Καὶ πάλιν ὁ ἱερεὺς ἐκφωνεῖ.

Ἔτι δεόμεθα, ὑπὲρ ἀφέσεως ἁμαρτιῶν, τοῦ δούλου τοῦ θεοῦ, (δεῖνος), καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν, θλιβομένων τε καὶ καταπονουμένων, ἐλέους θεοῦ καὶ βοηθείας ἐπιδεομένων. σκέπης τοῦ ἁγίου οἴκου τούτου καὶ τῶν κατοικούντων ἐν αὐτῷ. εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου. εὐσταθείας τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν, σωτηρίας καὶ βοηθείας τῶν μετὰ σπουδῆς καὶ φόβου θεοῦ κοπιώντων, καὶ διακονούντων πατέρων καὶ ἀδελφῶν ἡμῶν. ὑπὲρ τῶν ἀπολειφθέντων καὶ ἐν ἀποδημίᾳ ὄντων. ἰάσεως τῶν ἐν ἀσθενείαις κατακειμένων. ὑπὲρ κοιμήσεως, ἀνέσεως, μακαρίας μνήμης καὶ ἀφέσεως ἁμαρτιῶν, τῶν προαπελθόντων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων. ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων. καὶ τῶν διακονούντων ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ, εἴπωμεν.

Οἱ δὲ ἀδελφοί, τὸ κύριε ἐλέησον, μ΄.

Εἶτα μνημονεύει οὓς θέλει, ζῶντας καὶ τεθνεῶτας. Καὶ πάλιν ἐκφωνεῖ ὁ ἱερεύς.

Ἐπάκουσον ἡμῶν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν. καὶ ἵλεως, ἵλεως γενοῦ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. καὶ εὐθὺς τό, Εἰρήνη πᾶσι, καὶ οἱ ἀδελφοί. Καὶ τῷ πνεύματί σου. Ὁ ἱερεύς, τὰς κεφαλὰς ἡμῶν τῷ κυρίῳ κλίνατε.

Καὶ ἡμῶν κλινάντων καὶ εἰς γῆν κεκυφότων, ἐπεύχεται μεγαλοφώνως ὁ ἱερεὺς τὴν εὐχὴν ταύτην.

Δέσποτα πολυέλεε κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν. πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. τῶν τιμίων καὶ ἐπουρανίων δυνάμεων ἀσωμάτων. τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου. τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων. τοῦ ἁγίου τοῦδε, καὶ πάντων σου τῶν ἁγίων, εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν. δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν. σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον. εἰρήνευσον τὴν ζωὴν ἡμῶν, κύριε ἐλέησον ἡμᾶς, καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Εἶτα ἀναστάμενοι, ἀρχόμεθα [illegible] τοῦ [illegible]. Καὶ ψάλλοντες εἰσερχόμεθα ἐν τῷ ναῷ. Καὶ μετὰ τοῦτο λέγομεν, Καὶ ἔπειτα [illegible] ἀναστάσιμα, τὰ κατὰ ἀλφάβητον, ἐπάδοντες καὶ στίχους αὐτῶν, ἤγουν τό, Ὁ κύριος ἐβασίλευσεν. στίχ. α΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, στίχ. β΄. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα κύριε, στίχ. γ΄. Δόξα καὶ νῦν, θ΄. Εἶτα τὸ νῦν ἀπολύεις. Τὸ τρισάγιον, τὸ παναγία τριάς, τὸ πάτερ ἡμῶν. Ἐκφωνεῖ ὁ ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις. Καὶ ἡμεῖς τὸ ἀπολυτίκιον τοῦ ἤχου, ἢ τὸ εἰς παρθένον. Λέγοντες αὐτὸ ἐκ γ΄. Ὁ δὲ κελλαρίτης, προτίθησιν ἐν τῷ ἀναλογίῳ, ἄρτους, ε΄, ἐξ ὧν ἐσθίομεν ἐν τῇ τραπέζῃ. ὡσαύτως καὶ σῖτον μετὰ οἴ-

μου

ρου τοῦ καλλίστου. Καὶ ὀλίγον ἔλαιον εἰς ἄγγος τίθ. ὁ δὲ ἱερεὺς λαβὼν ἄρτον ἕνα ταῖς χερσί, καὶ τυπώσας ἐν αὐτῷ σταυρόν, ἐπεύχεται τὴν εὐχὴν ταύτην, ἐκφώνως.

Κύριε Ἰησοῦ Χριστὲ ὁ θεὸς ἡμῶν. ὁ εὐλογήσας τοὺς πέντε ἄρτους, καὶ πεντακισχιλίους χορτάσας, αὐτὸς εὐλόγησον καὶ τοὺς ἄρτους τούτους. τὸν σῖτον. τὸν οἶνον, καὶ τὸ ἔλαιον. καὶ πλήθυνον αὐτὰ ἐν τῇ ἁγίᾳ μονῇ ταύτῃ, καὶ εἰς τὸν κόσμον σου ἅπαντα. καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας, πιστοὺς ἁγίασον. ὅτι σὺ εἶ ὁ εὐλογῶν, καὶ ἁγιάζων τὰ σύμπαντα Χριστὲ ὁ θεός. καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι. νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ μετὰ τὸ ἀμήν, λέγομεν λγ΄, ψαλμόν, τό, Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ. ἕως τοῦ μέσου. ἄχρι τοῦ, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Ὁ δὲ ἱερεύς, ἀπελθὼν ἵσταται ἔμπροσθεν τῶν ἁγίων θυρῶν βλέπων πρὸς δυσμάς. Μετὰ δὲ τὴν πλήρωσιν τοῦ ψαλμοῦ, ἐπεύχεται ὁ ἱερεύς, λέγων, Εὐλογία κυρίου ἐφ' ὑμᾶς πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ τὸ ἀμήν. Καὶ εὐθέως ἀνάγνωσιν εἰς τὸν πραξαπόστολον.

Ἰστέον δέ, ὅτι ἀπὸ τῆς κυριακῆς τοῦ πάσχα, μέχρι τῶν ἁγίων πάντων, εἰς τὴν τοιαύτην ἀνάγνωσιν λέγω δὴ τοῦ μεγάλου ἑσπερινοῦ, αἱ πράξεις τῶν ἁγίων ἀποστόλων ἀναγινώσκονται μόναι. εἰς δὲ τὰς λοιπὰς κυριακὰς τοῦ ὅλου χρόνου, αἱ ἑπτὰ καθολικαί, καὶ αἱ ιδ΄, τοῦ ἁγίου παύλου ἐπιστολαί, καὶ ἡ ἀποκάλυψις ἰωάννου. Ὁ δὲ κελλαρίτης διακλάσας τοὺς ἄρτους, ἐπιδίδωσι τοῖς ἀδελφοῖς ἀνὰ μίαν ὡσαύτως καὶ ἀπὸ ἑνὸς ποτηρίου οἴνου, διὰ τὸν κόπον τῆς ἀγρυπνίας, ὥσπερ ἐξ ἀρχῆς παρελάβομεν ἀπὸ τῶν ἁγίων πατέρων. Οἱ δὲ διακονηταὶ ποιήσαντες τὴν συνήθη μετάνοιαν, ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν, ἐξέρχονται. Ἀπὸ δὲ τῆς ὥρας ἐκείνης, οὐκ ἔχει τις ἐξουσίαν πιεῖν ὕδωρ διὰ τὴν μετάληψιν τῶν ἀχράντων μυστηρίων. Ὁ δὲ εὐλογηθεὶς ἄρτος, ἐστὶν ἀλεξιτήριος παντοίων κακῶν, εἰ μετὰ πίστεως λαμβάνοιτο.

Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ πραξαποστόλου εὐλογοῦντος τοῦ ἱερέως, ἀρχόμεθα τοῦ ἑξαψάλμου. Καὶ ὁ μὲν κανδηλάπτης, ἑτοιμάσας τὸ θυμιατόν, ἐξέρχεται καὶ σημαίνει τὸ μέγα. Ὁ δὲ ἱερεὺς θυμιᾷ. Ὅταν δὲ ἄρξηται ὁ προεστὼς τοῦ ρβ΄, ψαλμοῦ, ἤγουν, τό, εὐλόγει ἡ ψυχή μου τὸν κύριον, λέγει ὁ αὐτὸς ἱερεὺς τὰς εὐχὰς τοῦ ὄρθρου, ἱστάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν ἁγίων θυρῶν. Εἶτα ποιεῖ τὴν συναπτήν, καὶ ἐκφωνεῖ. Εἶθ' οὕτως ὁ ταχθεὶς μοναχός, ἀφ' ἑσπέρας, εἰς τὸ προκείμενον, ποιήσας τὴν συνήθη μετάνοιαν τῷ ἡγουμένῳ, ψάλλει τὸ θεὸς κύριος. Καὶ ψάλλομεν τὸ τροπάριον τῆς κυριακῆς. δευτεροῦντες αὐτό. Καὶ εἰς τὸ δόξα τοῦ κατὰ τὴν ἡμέραν ἁγίου, εἴπερ ἐστὶν ἑορτάσιμος. Εἶτα δόξα καὶ νῦν, θ΄, τὸ πρῶτον τοῦ ἤχου. Μετὰ δὲ τοῦτο, ἡ συνήθης στιχολογία, τὸ ἐξομολογήσομαί σοι κύριε. Καὶ λέγομεν κάθισμα, ἀναστάσιμον τοῦ ἤχου τὸ α΄, καὶ εἰ ἔστιν καθίσματα πλείονα, λέγει στίχον. Ἀνάστα κύριε βοήθησον ἡμῖν. Καὶ ψάλλομεν καὶ ἕτερον. Εἶτα δόξα καὶ νῦν, θ΄. καὶ γίνεται ἀνάγνωσις, καὶ

...λὴν ψυχολογία. Ἀγαπήσω σε κύριε, καὶ αὖθις τὸ ἀναστάσιμον. καὶ ἀνάγνωσις. Ἔπειτα ψάλλομεν τὸ ἀναστάσιμον εἰς ἦχον, πᾶ. Ἐν τῷ ἡ θυμιᾷ ὁ ἱερεὺς. καθ' ἓν δὲ δόξα, ποιεῖ συναπτὴν μικράν. ἀπὸ δὲ τοῦ ἀμώμου. Τὸ ἐρωτάειον ἀναστάσιμον ἢ τοῦ ἤχου, πᾶ. Τὸν ἄγγελον ὁ δῆμος. Καὶ τὰ λοιπά. ἡ ὑπακοή, καὶ ἀνάγνωσις. Εἶτα οἱ ἀναβαθμοί, τοῦ ἤχου. Ἐν οἷς ἀπέρχεται ὁ κανδηλάπτης καὶ σημαίνει τὸ σιδηροῦν. Προκείμενον ἀναστάσιμον.

Τὸ πᾶσα πνοὴ εἰς τὸν ἦχον. καὶ ποιεῖ ὁ ἱερεὺς μικρὰν συναπτήν, εἶτα ἐκφωνεῖ. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως. Καὶ λέγομεν τὸ ἑωθινὸν εὐαγγέλιον. Εἶθ' οὕτως τὸ ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ πεντηκοστός.

Μετὰ δὲ τὸν ἀσπασμὸν τοῦ εὐαγγελίου, ὁ ἱερεύς, σῶσον ὁ θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Κύριε ἐλέησον ιβ'. Καὶ ἐκφώνησις. Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπία. Καὶ ἀρχόμεθα τῶν κανόνων. Ἀναστασίμους, β'. Τῆς θεοτόκου καὶ τοῦ μηναίου. Τὰς ᾠδὰς ἄσομεν οὐ λέγομεν. Ἀλλὰ τὸν εἱρμόν. Ἅγιον δὲ ὅτε ἂν ἑορτάζεται, ἅγιος τοῦ μηναίου. Καταλιμπάνεται ὁ τρίτος ἀναστάσιμος κανὼν τῆς ὀκτωήχου. Εἰς δὲ τὸν κανόνα τοῦ ἁγίου, ἱστῶμεν στίχους, ς'. Ἀπὸ τοῦ ἕως ἂν παρέλθοι ὁ λαός σου. ἀπὸ γ', ᾠδῆς, κάθισμα τοῦ μηναίου. Καὶ ἀνάγνωσις ἀφ' ἕκτης ᾠδῆς κοντάκιον τοῦ ἁγίου, εἰ ἔχει. Εἰ δὲ οὐκ ἔχει, λέγομεν κοντάκιον τῆς θεοτόκου. Ἡ ἐργασία τῶν χριστιανῶν. Καὶ ἕτερον [illegible] βουλῆ, καὶ ἀνάγνωσις, καὶ τὸ συναξάριον.

Ἀπὸ δὲ, θ', ᾠδῆς. Ἅγιος κύριος ὁ θεὸς ἡμῶν, καὶ τὸ ἀναστάσιμον ἐξαποστειλάριον. Καὶ τοῦ ἁγίου εἰ ἑορτάζεται. Καὶ τὸ θεοτοκίον. Δεῖ δὲ εἰδέναι ὅτι εἰς τὴν, θ', ᾠδήν, ποιοῦμεν μετανοίαν ἕως εἰς γῆν, αἱ δύο χοροὶ ὁμοῦ. Εἰς τοὺς αἴνους στίχους ἀναστάσιμα, δ'. καὶ εἰς τὸ δόξα. Τὸ ἑωθινόν. εἰς τὸ καὶ νῦν. Τὸ θεοτοκίον. ἤγουν, τό, Ὑπερευλογημένη ὑπάρχεις θεοτόκε παρθένε. Στίχους δὲ λέγομεν εἰς τὰ ἀναστάσιμα τούτους. Ἀνάστηθι κύριε ὁ θεός μου, στίχ. Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ. Μετὰ δὲ τὸ ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη. Τὸ εἰσάγιον χω εἰς τοῦ πατρὸς ἡμῶν. Καὶ τὸ ἀναστάσιμον, ἤγουν ἀναστὰς ἐκ τοῦ μνήματος. Καὶ σήμερον σωτηρία τῷ κόσμῳ, ᾄσωμεν. Ταῦτα γὰρ ἓν παρ' ἓν ψάλλονται. Εἶτα ἐκτενή. Καὶ πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ κυρίῳ, καὶ τὰ λοιπά ἐκφώνησις. Ὅτι ἐλεήμων γάρ ἐστι τὸ ἐλεεῖν, καὶ ἡ εὐχή. Ὁ ὢν εὐλογητὸς, Χριστὸς ὁ θεὸς ἡμῶν καὶ τὰ λοιπά. Εἶθ' οὕτως στρέφομεν τοὺς βασιλεῖς ὡς σύνηθες. Καὶ ἀπόλυσις.

Μετὰ δὲ τὴν ἀπόλυσιν, ποιοῦμεν λιτὴν ἐν τῷ νάρθηκι, ψάλλοντες στιχηρὰ τοῦ ἁγίου ἐκφωνουμένων καὶ τῶν προγραφουσῶν εὐχῶν ὑπὸ τοῦ ἱερέως, ἤγουν τῶν ἐκτενῶν καὶ τῶν λοιπῶν. Εἶτα τὴν εὐχὴν ταύτην. Δέσποτα πολυέλεε κύριε. Καὶ γίνεται ἀπόλυσις. Δεῖ δὲ τὸν ἐκκλησιάρχην ἀκριβῶς ἔχειν εἰς τὴν ψαλμῳδίαν, καὶ εἰς τὴν ἀνάγνωσιν. Ὅπως ἡλίου ἀνίσχοντος, γένηται ἡ ἀπόλυσις. Ἀπὸ δὲ τῆς ἀγρυπνίας, οὐ κοιμώμεθα, διὰ τὴν ἁγίαν μετάληψιν τῶν θείων καὶ φρικτῶν μυστηρίων. Ἔστω δὲ ἡ λειτουργία τῆς ἁγίας κυριακῆς, ταχύτερον, διὰ τὸν κόπον τῆς ἀγρυπνίας. Τὸ δὲ

λυχνικὸν βραδύτερον.

Ἴσον δὲ καὶ τοῦτο, ὅτι παρελάβομεν ἐν παλαιστίνῃ, ὥστε τοὺς ὄρθρους τῆς ἑβδομάδος ὅλης ἀπολύειν ἔτι σκοτίας οὔσης. Τὴν δὲ ἀγρυπνίαν, ἡλίου ἀνατέλλοντος.

φ. γ'. Εἴδησις τῶν ἀγρυπνιῶν, τοῦ ὅλου ἐνιαυτοῦ.

Χρὴ γινώσκειν, ὅτι ἑβδομάδες εἰσὶν τοῦ ἐνιαυτοῦ ὅλου, δύο καὶ πεντήκοντα. ἐν αἷς καὶ ποιοῦμεν ἐν ἑκάστῃ κυριακῇ ἀγρυπνίαν. ὡς ποσοῦσθαι τοῦ ὅλου ἐνιαυτοῦ τὰς ἀγρυπνίας, νβ', γίνονται δὲ καὶ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς ἀγρυπνίαι, ἐν ἑκάστῳ μηνὶ αὐτῶν οὕτως.

Μηνὶ σεπτεβρίῳ, η', εἰς τὸ γενέσιον τῆς ὑπεραγίας θεοτόκου.

Τῇ, ιδ', τοῦ αὐτοῦ μηνός, ἐν τῇ ὑψώσει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ.

Τῇ, κϛ', τοῦ αὐτοῦ μηνός, ἐν τῇ μεταστάσει τοῦ ἁγίου ἰωάννου τοῦ θεολόγου.

Μηνὶ νοεμβρίῳ, ἐν τῇ, κα', τὰ εἰσόδια τῆς ὑπεραγίας θεοτόκου.

Μηνὶ δεκεμβρίῳ, ἐν τῇ, κε', εἰς τὴν κατὰ σάρκα γέννησιν τοῦ κυρίου ἡμῶν.

Μηνὶ ἰαννουαρίῳ, ϛ', ἐν τῇ τῶν ἁγίων θεοφανίων ἑορτῇ, ἤτοι τοῦ βαπτίσεως.

Τῇ, ιζ', τοῦ αὐτοῦ μηνός, ἐν τῇ μνήμῃ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀντωνίου τοῦ μεγάλου.

Μηνὶ φεβρουαρίῳ, β', ἐν τῇ ὑπαπαντῇ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ.

Μηνὶ μαρτίῳ, κε', εἰς τὸν εὐαγγελισμὸν τῆς ἁγίας θεοτόκου.

Μηνὶ μαΐῳ, η', ἐν τῇ μνήμῃ τοῦ ἁγίου ἰωάννου τοῦ θεολόγου.

Μηνὶ ἰουνίῳ, κδ', εἰς τὸ γενέσιον τοῦ τιμίου προδρόμου καὶ βαπτιστοῦ ἰωάννου.

Τῇ, κθ', τοῦ αὐτοῦ μηνὸς ἐν τῇ τῶν ἁγίων ἀποστόλων καὶ κορυφαίων πέτρου καὶ παύλου.

Μηνὶ αὐγούστῳ, ϛ', ἐν τῇ μεταμορφώσει τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ.

Τῇ, ιε', τοῦ αὐτοῦ μηνὸς ἐν τῇ κοιμήσει τῆς ὑπεραγίας θεοτόκου.

Τῇ, κθ', τοῦ αὐτοῦ μηνὸς ἐν τῇ ἀποτομῇ τοῦ τιμίου προφήτου προδρόμου ἰωάννου.

Τῇ, ε', τῆς πέμπτης ἑβδομάδος, ἐν τῇ ἀναλήψει τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ.

Ὁμοῦ τοῦ ὅλου ἐνιαυτοῦ, ἀγρυπνίαι, ἑξήκοντα καὶ ὀκτώ.

Εἰσὶ δὲ καὶ ἄλλαι γινόμεναι εἰ ὁ προεστὼς θέλει.

Τῇ, ιγ', τοῦ νοεμβρίου μηνός, τοῦ ἁγίου ἰωάννου τοῦ χρυσοστόμου.

Τῇ, ε', τοῦ δεκεμβρίου μηνός, τοῦ ὁσίου πατρὸς ἡμῶν σάββα.

Τῇ, κ', τοῦ ἰαννουαρίου μηνός, τοῦ ὁσίου πατρὸς ἡμῶν εὐθυμίου τοῦ μεγάλου.

Εἰσὶ δὲ καὶ ἕτεραι τούτων, ἔστι, τὸ κατὰ τὴν μονὴν ἅγιον, ἐν ᾗ γίνεται ἀπαραιτήτως καὶ ἐν τῇ μνήμῃ αὐτοῦ.

Ἔκφρασις ἐν ἐπιτομῇ τῆς ἐκκλησιαστικῆς διατάξεως τῶν ἱεροσολύμων, ὅπως ὀφείλει στιχολογεῖσθαι τὸ ψαλτήριον ἐν ὅλῳ τῷ ἐνιαυτῷ. κεφάλαιον, δ'.

Δεῖ γινώσκειν ὅπως ὀφείλει στιχολογεῖσθαι τὸ ψαλτήριον ὅλον τὸν ἐνιαυτόν. Ἤγουν ἀπὸ τῆς κ', τοῦ σεπτεβρίου μηνὸς καθ' ἑκάστην στιχολογοῦμεν καθίσματα γ'. Ἐν δὲ τῷ ἑσπερινῷ τὸ πρὸς κύριον. Προστίθεαμεν δὲ καὶ τὸν πολυέλεον εἰς τὴν ἀγρυπνίαν. Ἀπὸ δὲ τῆς χριστοῦ

γεννήσεως, μέχρι ταῖς ιδ΄ τοῦ ἰανουαρίου μηνός. ἐν ᾗ καὶ ἀποδίδοται ἡ ἑορτὴ τῶν ἁγίων θεοφανίων. εἰς μὲν τὸν ὄρθρον, καθίσματα β΄. ἐν δὲ τῷ ἑσπερινῷ τὸ ἑσπέρου· ὥστε πληροῦσθαι ἐν ἑκάστῃ ἑβδομάδι τὸ ψαλτήριον.

Ἀπὸ δὲ τῆς ιε΄ τοῦ ἰουνίου μηνός. Προστιθέαμεν εἰς τὸν ὄρθρον τὸ καθίσμα. εἰς δὲ τὸ λυχνικὸν, τὰ πρὸς κύριον, μέχρι τοῦ σαββάτου τῆς ἀποκρέου. Τὰς δὲ β΄ ἑβδομάδας τῆς τε ἀποκρέου καὶ τῆς τυρινῆς. στιχολογοῦνται εἰς τὸν ὄρθρον καθίσματα β΄, εἰς δὲ τὸν ἑσπερινὸν, τὸ ἑσπέρου, διὰ μικρὰν ἀνάπαυσιν τῶν ἀδελφῶν.

Τὰς δὲ ἓξ ἑβδομάδας τῆς ἁγίας μ΄, δὶς πληροῦμεν τὸ ψαλτήριον ἑκάστῃ ἑβδομάδι. Τῇ δὲ ἁγίᾳ καὶ μεγάλῃ ἑβδομάδι, πληροῦμεν αὐτὸ ἅπαξ, ἤτοι τῇ μεγάλῃ δ΄, καὶ σχολάζει ἀπὸ τῆς μεγάλης ε΄, μέχρι τοῦ σαββάτου τοῦ ἀντιπάσχα. Κατὰ δὲ τὴν ἀγρυπνίαν τοῦ ἁγίου ἀποστόλου θωμᾶ, ἤγουν τῇ νέᾳ κυριακῇ, ἀρχόμεθα πάλιν στιχολογεῖν τὸ ψαλτήριον, καθεκάστην κυριακὴν, καὶ καθεκάστην ἡμέραν. εἰς μὲν τὸν ὄρθρον καθίσματα β΄. εἰς δὲ τὸν ἑσπερινὸν, ἕν, μέχρι τῆς κ΄ τοῦ σεπτεβρίου μηνὸς ὥσπερ δεδήλωται.

Χρὴ δὲ εἰδέναι, ὅτι στιχολογία ἐν πάσαις ταῖς κυριακαῖς ἑσπέρας, οὐ γίνεται. ὡσαύτως καὶ ἐν δεσποτικαῖς ἑορταῖς ἐν αἷς δῆλον ὅτι γίνεται ἀγρυπνία.

## Περὶ τοῦ πῶς χρὴ σημαίνειν καθ' ἑκάστην ἡμέραν. Κεφάλ. ε΄.

Δεῖ γινώσκειν πῶς χρὴ σημαίνειν καθεκάστην ἡμέραν. Πρὸ τοῦ τὸν ἥλιον δῦναι, καὶ πρὸ τοῦ λυχνικοῦ μικρὸν ταχύτερον, ὁ κανδηλάπτης σημαίνει τὸ σιδηροῦν· καὶ ψάλλουσιν οἱ ἀδελφοὶ ἐν τοῖς κελλίοις αὐτῶν τὴν θ΄ ὥραν, μετὰ τοῦ μεσωρίου αὐτῆς. εἶτα σημαίνει τὸ μέγα, καὶ συναγόμεθα ἐν τῇ ἐκκλησίᾳ, καὶ εὐλογοῦντος τοῦ ἱερέως. εἰ μὲν ἐστὶν ἀλληλούϊα ἀρχόμεθα τὸ τρισάγιον, ποιοῦντες καὶ μετανοίας γ΄. Ἱστάμεθα δὲ ἀναμέσον τῆς ἐκκλησίας, στοιχηδὸν τοῦ ψιαθίου ἐν ὀρδίνῳ. Ἀμφοτέρων ἐν τῷ ἅμα κλινόντων τὸ γόνυ καὶ κεφαλὴν καὶ ἀνισταμένων. Μετὰ τὸ πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεὺς. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία. Καὶ τὸ κύριε ἐλέησον, ιβ΄. Τὸ δεῦτε προσκυνήσωμεν ἐκ τρίτου, καὶ μετανοίας γ΄, καὶ ἡ στιχολογία κατὰ τὸ σύνηθες. Ἐν ἑκάστῳ δὲ ἀντιφώνῳ, μετανοίας τρεῖς. Ἀντὶ τοῦ προκειμένου. ἀλληλούϊα εἰς ἦχον πλάγιον β΄. Στίχους δὲ λέγει τούσδε. Τῇ β΄ ἑσπέρας. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. στίχος. Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Τῇ γ΄ ἑσπέρας. Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν. στίχος καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Τῇ δ΄ ἑσπέρας. Καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης, στίχος καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Τῇ ε΄ ἑσπέρας. Καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν. στίχος καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Καὶ οἱ ἀδελφοὶ γεγονωτέρᾳ φωνῇ τὸ ἀλληλούϊα. Καὶ ποιήσας ὁ ἱερεὺς μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ὄπισθεν τοῖς ἀδελφοῖς, ἀπέρχεται εἰς τὸν τόπον αὐτοῦ. εἶτα τὸ καταξίωσον. Καὶ μετανοίας τρεῖς. εἰς τὸν στίχον, στιχηρὰ τῆς ὀκτωήχου. Δόξα καὶ νῦν, τὸ πάτερ ἡμῶν. καὶ ἐκφωνεῖ ὁ ἱερεὺς. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία. τροπάριον. Θεοτόκε παρθένε, μετάνοιαν α΄. Δόξα. Βαπτιστὰ τοῦ χριστοῦ, μετάνοιαν α΄. Καὶ νῦν. Ἱκετεύσατε

τῶν ἡμῶν, μετάνοιαν α΄. Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, χωρὶς μετανοίας. Τὸ Κύριε ἐλέησον, μ΄. Καὶ ἐπεύχεται ὁ ἱερεύς. Ποιοῦμεν δὲ μετανοίας γ΄, μεγάλας, καὶ μικράς, ιβ΄. Εἶτα τὸ τρισάγιον. Καὶ λεγομένης εὐχῆς, ἀπολυόμεθα. Γίνεται δὲ ἡ συνήθης λιτὴ ἐν τῷ νάρθηκι, καὶ ἡ λοιπὴ ἀκολουθία. Καὶ τέλος καὶ ἀπόλυσις. Οὕτως ποιοῦμεν τὸν ὅλον ἐνιαυτὸν εἰς τὸ λυχνικὸν ὅτε ψάλλομεν ἀλληλούϊα.

Εἰς δὲ τὸν ὄρθρον κρούει ὁ κανδηλάπτης τὰς βαρέας, πρῶτον σχολαιότερον, ἄχρι τῶν μ΄, καὶ ψάλλουσιν οἱ ἀδελφοὶ ἐν τοῖς κελλίοις αὐτῶν μεσονυκτικὸν τὸν ἄμωμον. Μετὰ δὲ τὴν τῶν βαρέων συμπλήρωσιν, κατέρχεται καὶ ἅπτει τὰς κανδήλας. καὶ ἑτοιμάσας τὸ θυμιατὸν, ἐξέρχεται καὶ κρούει τὸ σιδηροῦν. Εἰσελθόντων δὲ οἱ ἀδελφοί, καὶ ποιήσαντες τὰς συνήθεις μετανοίας, ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ ἀσπασάμενοι τὰς ἁγίας εἰκόνας, καὶ προσκυνήσαντες ἔνθεν εἰς τοὺς χορούς, ἀπερχόμενοι καθέζονται εἰς τοὺς ἑαυτῶν τόπους. Ὁ δὲ εἰρημένος κανδηλάπτης, βαλὼν τὴν ἐξ ἔθους μετάνοιαν τῷ ἡγουμένῳ, ἀπέρχεται καὶ σημαίνει τὸ μέγα σήμαντρον. Ἀνίσταται δὲ ὁ τὴν ἐφημερίαν ἔχων ἱερεύς, καὶ ποιήσας καὶ αὐτὸς τὴν συνήθη μετάνοιαν τῷ προεστῶτι, εἰσέρχεται ἐν τῷ ἱερατείῳ. Καὶ λαβὼν θυμιατόν, τίθησι θυμίαμα, λέγων τὴν εὐχὴν τοῦ θυμιάματος. Ἵσταται δὲ περιμένων τὴν ἀπόλυσιν τοῦ σημάντρου.

Καὶ παυσαμένου αὐτοῦ, ἀπέρχεται ὁ ἱερεύς, λέγων· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, καὶ ἀποκρινομένων τὸ ἀμήν. Ὁ οὗτος θυμιᾷ τὴν ἁγίαν τράπεζαν σταυροειδῶς. Ὡσαύτως καὶ τὸ ἱλαστήριον ἅπαν. Κἀκεῖθεν ἐξέρχεται διὰ τοῦ βορείου κλίτους εἰς τὸν ναόν. Καὶ εἰ μὲν ἔστιν ἀλληλούϊα, ἀρχόμεθα τοῦ τρισαγίου ἄνευ μετανοιῶν. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς. Χαράττων σταυρὸν μετὰ τοῦ θυμιατοῦ, κατέναντι τοῦ ἱλαστηρίου, ἤτοι τῶν ἁγίων θυρῶν, λέγων· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία. καὶ μετὰ τὸ ἀμήν. Τὸ Κύριε ἐλέησον, ιβ΄. Καὶ ἄρχεται ὁ προεστὼς σὺν τῷ ἐκκλησιάρχῃ, τό, Δόξα ἐν ὑψίστοις Θεῷ, λεγόντων αὐτῶν ἐκ τρίτου. καὶ τὸ Κύριε, τὰ χείλη μου ἀνοίξεις, ἐκ δευτέρου. Καὶ ψάλλουσιν ἀμφότεροι τὸν ἑξάψαλμον. ἡσύχῳ φωνῇ καὶ ἀργῶς εἰς ἐπήκοον πάντων. Ὁ δὲ ἱερεύς, τούτου ψαλλομένου, θυμιᾷ τὸν ναὸν καὶ τοὺς μοναχοὺς κατὰ τάξιν. 15 Μετὰ δὲ τὸ πληρῶσαι τοῦ θυμιᾶν, βαλὼν μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων θυρῶν, καὶ εἰς τοὺς χοροὺς ὡς σύνηθες ἀπέρχεται ἐν τῷ στασιδίῳ αὐτοῦ. Εἰς δὲ τὴν ἔναρξιν τοῦ ρβ΄ ψαλμοῦ, ἅπτων κηρόν, λέγει τὰς ἑωθινὰς εὐχάς. ἱστάμενος ἀσκεπὴς ἐνώπιον τοῦ ἁγίου θυσιαστηρίου. Μετὰ δὲ τὴν συμπλήρωσιν τοῦ ἑξαψάλμου, ποιεῖ συναπτὴν καὶ ἐκφώνησις. Σημειωτέον δέ, ὅτι ἄδειαν οὐκ ἔχει τις, βῆξαι ἢ πτύσαι, μέχρις ἂν τελεσθῇ ὁ ἑξάψαλμος. Εἶθ' οὕτως ὁ ταχθεὶς μοναχὸς ἐν τῷ ἑσπερινῷ, βαλὼν μετάνοιαν τῷ προεστῶτι, ψάλλει τὸ ἀλληλούϊα εἰς τὸν τῆς ἑβδομάδος ἦχον. Ἐπιλέγων δὲ καὶ τοὺς δὲ τοὺς στίχους. Στίχος α΄. Ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσει. Στίχος β΄. Καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. Στίχος γ΄, Πρόσθες αὐτοῖς κακά

Στίχος κ΄. Οὕτως ἐγεννήθημεν τῷ
ἀγαπητῷ σου. Εἰ δὲ τύχῃ Θεὸς Κύριος,
τρισάγιον μετὰ τὴν ἀρχὴν τοῦ ἑξαψάλ-
μου οὐ λέγομεν, ἀλλὰ τό, δόξα ἐν
ὑψίστοις Θεῷ. Ψάλλει οὖν ὡς εἴρηται
ὁ αὐτὸς μοναχὸς τὸ Θεὸς Κύριος, εἰς τὸν ἦ-
χον τοῦ τροπαρίου τοῦ κατὰ τὴν ἡμέ-
ραν ἁγίου. Εἶτα ἀρχόμεθα στιχολο-
γεῖν. Μετὰ τὴν στιχολογίαν τοῦ α΄ καθίσματος,
ψάλλει ὁ αὐτὸς ψάλτης τὸ ἐνόρδινον
κάθισμα τῆς ὀκτωήχου ἐν τῷ ἀναλογίῳ,
ποιῶν καὶ τὴν ἀνάγνωσιν. Συμπλη-
ρουμένης δὲ ταύτης, ποιεῖ μετάνοιαν
ἔμπροσθεν τῶν ἁγίων θυρῶν. καὶ εἰς
τοὺς χοροὺς πρὸς μίαν. Ψάλλει τοί-
νυν καὶ τὸ κοντάκιον τοῦ ἁγίου, ἀφ'
ἧς τῆς εἰπερ ἔχει ἡ ἡμέρα, ἤγουν ὅταν
ἐστὶ Θεὸς Κύριος. Ὡσαύτως καὶ τὸ φωστα-
γωγικόν, ὅτι ὑπάρχει ἀλληλούϊα.
Οὐ μήν, ἀλλὰ καὶ τὴν α΄, ὥραν. Τὸ ὁ
πρωῒ εἰσάκουσον τῆς φωνῆς μου.
Ποιῶν καὶ ἐν τούτῳ ἐν ἑκάστῳ στίχῳ, με-
τάνοιαν, α΄. Δόξα καὶ νῦν θεοτοκίον.
Τί σε καλέσωμεν. Εἶθ' οὕτως βάλ-
λει μετάνοιαν ἔμπροσθεν τῶν ἁγίων
θυρῶν, καὶ ὄπισθεν τοῖς ἀδελφοῖς ἑ-
τέραν. Ἡμεῖς δὲ εἰς τὴν πλήρωσιν
τῶν αἴνων, ἤτοι εἰς τὸ δόξα ἐν ὑψίστοις
Θεῷ. Ποιοῦμεν μετανοίας γ΄. Εἶ-
τα ψάλλομεν τὰ στιχηρὰ τῆς ὀκτωήχου.
ἀπὸ δὲ τῶν στιχηρῶν. Ἀγαθὸν τὸ ἐξο-
μολογεῖσθαι. Εἶτα τὸ τρισάγιον
καὶ μετανοίας γ΄. Καὶ μικρὰς ιβ΄.
Τὸ δεῦτε προσκυνήσωμεν γ΄, καὶ
μετανοίας γ΄. Εἶτα ψάλλομεν τὴν
πρώτην ὥραν. εἰς τὸ ἀλληλούϊα με-
τανοίας γ΄. Εἰς τὸ τί σε καλέσωμεν,
μετανοίας γ΄. Τὰ διαβήματά μου,
χύμα, καὶ χωρὶς μετανοίας. Τρισά-
γιον καὶ μετανοίας γ΄. Μετὰ δὲ τὸ

πάτερ ἡμῶν, λέγει ὁ ἱερεύς. ὅτι σοῦ ἐστιν
ἡ βασιλεία. Τὸ Κύριε ἐλέησον μ΄. καὶ
λέγομεν τὴν εὐχήν. Ὁ ἐν παντὶ και-
ρῷ. Εἶθ' οὕτως ὁ ἱερεὺς πάλιν. Ὁ Θεὸς
οἰκτειρήσαι ἡμᾶς. Καὶ ἡμεῖς μετα-
νοίας ε΄, μεγάλας. Λέγοντες καθ' ἑ-
κάστην μετάνοιαν, τὴν εὐχὴν ταύτην
καθ' ἑαυτούς. Κύριε καὶ δέσποτα τῆς
ζωῆς μου. Ὡσαύτως καὶ τὰς ιβ΄,
μικράς. Λέγοντες καὶ ἐν αὐταῖς τὸ ὁ
Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.
Εἶτα τὸ τρισάγιον, καὶ μετανοίας γ΄,
τὸ πάτερ ἡμῶν. Κύριε ἐλέησον, ιβ.
Καὶ ἀπόλυσις, καὶ ἡ συνήθη λιτή.
Δεῖ εἰδέναι ὅτι τῇ κυριακῇ ὀψὲ εἰ τύ-
χῃ τῇ β΄, ἀλληλούϊα, οὐδέποτε λέ-
γομεν ἀλληλούϊα, ἀντὶ τοῦ προκειμέ-
νου, ἀλλὰ τὸ τῆς ἡμέρας προκείμε-
νον, τό. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον
πάντες οἱ δοῦλοι Κυρίου. Ὡσαύτως καὶ
τῇ παρασκευῇ ἑσπέρας τό. Ὁ Θεὸς ἀν-
τιλήπτωρ μου εἶ σύ. Ἰστέον ὅτι ὁ τα-
χθεὶς μοναχὸς ψάλλειν προκείμε-
νον, αὐτὸς λέγει καὶ τὴν προφη-
τείαν, ὁμοίως καὶ τὸν πραξαπόστο-
λον ἐν τῇ λειτουργίᾳ. καὶ τὸ πᾶσα πνοὴ
εἰς τὸ εὐαγγέλιον. καὶ τὸ κοντάκιον
ὡς εἴρηται. Καὶ εἰς τὴν λειτουργίαν
τὸν ἀπόστολον σὺν τῷ ἀλληλουϊαρίῳ
εἰ τύχει ἱστάμενος αὐτός. ἐπειδὴ οὖν,
τὰ ἀτειό ἐκκλησιάρχης ἔπεμψεν ἀδελ-
φὸν εἰδότα ψάλλειν, κἀκεῖνος ψάλ-
λει τὸ ἀλληλούϊα. Καὶ μετὰ τὸ
πληρῶσαι, βάλλουσι μετάνοιαν οἱ
δύο ὁμοῦ ὅ τε λέγων τὸν ἀπόστολον,
καὶ ὁ ψάλτης. Ἀναγινώσκει δὲ καὶ
εἰς τὴν τράπεζαν ὁ ψάλλων τὸ προ-
κείμενον. Τὸ ὁ Θεὸς Κύριος καὶ τὰ λοιπά.
Χρὴ γινώσκειν, ὅτι μετὰ τὴν ἐπάρ-
σιν· τὴν ᾠδήν, ὁ ἱερεὺς λέγει, τό. Ἅγιος

τίς θεὸς ἡμῶν. Καὶ τὴν ἔνδειξιν τοῦ δόξα ἐν ὑψίστοις θεῷ, ἐν ταῖς μεγάλαις δοξολογίαις.

Δεῖ εἰδέναι ὅτι εἰς τὸν ὄρθρον τὸ θεὸς κύριος ἱστάμενοι ψάλλομεν. Ὡσαύτως καὶ τὸ ἀλληλούια, καὶ ἐν τῷ λέγειν τὸν ἀπόστολον. Ἀποσκεπαζόμεθα δὲ εἰς τὸ ἅγιον εὐαγγέλιον. Εἰς τὸ χερουβικὸν ὕμνον. Εἰς τὸ περὶ ἡμῶν· ὃ καὶ ποιοῦμεν στάσεις ζ΄. Καὶ εἰς τὸ πληρωθήτω τὸ στόμα μου. Δεῖ γινώσκειν, ὅτι ἐν τῷ ἑσπερινῷ, οὐδέποτε ἱστῶμεν, στιχ. στ΄. Καὶ δευτεροῦμεν τὰ ἐν τῷ μηναίῳ στιχηρὰ τοῦ ἁγίου. Εἰ δὲ τύχωσιν ἕξ, λέγομεν αὐτὰ πρὸς μίαν. Καὶ εἰ μὲν ἔχει ὁ ἅγιος ἴδιον στιχ., λέγομεν αὐτὸ εἰς τὸ δόξα, ἑνουμένων τῶν δύο χορῶν. Εἰ δὲ μή, δόξα καὶ νῦν θεοτοκίον. Μετὰ δὲ τὸ προκείμενον εἰς τὸν στιχ. στιχηρὰ τῆς ὀκτωήχου. Ψάλλονται δὲ εἰς τὸ μέσον, ποιοῦντος τοῦ κανονάρχου μετάνοιαν καὶ τῶν δύο χορῶν ἐν τούτῳ. Θυμιᾷ δὲ ὁ ἱερεὺς, εἰς τὸ κύριε ἐκέκραξα, καὶ ἐν τῷ ὄρθρῳ εἰς τὸν ἑξάψαλμον. καὶ εἰς τὴν θ΄, ᾠδήν. ἐν ᾗ καὶ ποιοῦμεν οὐδέποτε μετάνοιαν ἀπὸ γῆς. Θυμιᾷ δὲ καὶ ἐκφωνουμένου τοῦ ἀμώμου, κατὰ τὸ σάββατον καὶ κυριακήν. Ἰστέον δέ, ὅτι ἀπὸ τῆς κυριακῆς τοῦ ἀντίπασχα, μέχρι τῆς πεντηκοστῆς, προηγοῦνται εἰς τὸ κύριε ἐκέκραξα τὰ ἐν τῇ κυριακαῖς στιχηρὰ τῶν δεσποτικῶν εἴτε ἀναστάσιμα εἴτε στιχηρὰ, γ΄. Εἶθ' οὕτως τὰ κατὰ τὴν ἡμέραν ἁγίου πρὸς μίαν. Δόξα, καὶ νῦν. Τῆς ἑορτῆς, εἰς δὲ τὸν στιχ. στιχηρὰ τῆς ὀκτωήχου. Τῇ κυριακῇ ἑσπέρας. Ἀναστάσιμον, ἕν. Κατανυκτικὸν, ἕν. Μαρτυρικὸν, ἕν. Τῇ τρίτῃ ἑσπέρας σταυρώσιμον, ἕν. Ἀναστάσιμον, καὶ νεκρώσιμον. Τῇ τετάρτῃ ἑσπέρας. Ἀναστάσιμον,

καὶ ἀποστολικὸν, καὶ νεκρώσιμον. Τῇ πέμπτῃ ἑσπέρας. Ἀναστάσιμον, σταυρώσιμον, καὶ μαρτυρικόν. Τῇ παρασκευῇ ἑσπέρας, εἰς τὸ λυχνικόν. Εἰς τὸ κύριε ἐκέκραξα. στιχηρὰ τῆς ἑορτῆς γ΄. ἃ, καὶ λέγονται ἐν τῇ παρελθούσῃ ἀγρυπνίᾳ τῆς κυριακῆς. Τὰ οὖν κατὰ τὴν ἡμέραν γ΄. Δόξα ἀπόστιχον τῆς ἑορτῆς. Καὶ νῦν θεοτοκίον τοῦ ἐνορδίμου ἤχου, μετὰ τῶν προκειμένων. Εἰς τὸν στιχ. λέγομεν στιχηρὰ ἀναστάσιμα δ΄. τοῦ ἤχου δηλονότι τὰ γ΄. καὶ τοῦ στιχ. τὸ α΄. Δόξα καὶ νῦν τῆς ἑορτῆς. Στίχους δὲ λέγομεν. Ὁ κύριος ἐβασίλευσεν. στιχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην. στιχ. γ΄. Τῷ οἴκῳ σου πρέπει. Τῷ σαββάτῳ εἰς τὸν ὄρθρον, εἰς τοὺς αἴνους. στιχηρὰ ἀναστάσιμα δ΄. Δόξα καὶ νῦν τῆς ἑορτῆς. Εἰς τὸν στιχ. στιχηρὰ τῆς ἑορτῆς, εἴτε ἀπόστιχον εἴτε προκείμενον. Δόξα, καὶ νῦν τῆς ἑορτῆς. Χρὴ γινώσκειν, ὅτι ἐν πάσαις ταῖς παρασκευαῖς, ὅτε τύχῃ θεὸς κύριος, ψάλλομεν τὸν πολυέλεον. Μετὰ τῶν ἀλληλουιαρίων αὐτοῦ ἀπαραλλάκτως εἰς τὸν ἦχον τῆς ἡμέρας. Εἰ δὲ τύχῃ ἀλληλούια ψάλλεται χύμα. Ἰστέον ὅτι οὐδέποτε τὸν μθ΄, ψαλμὸν τὸ θεὸς θεῶν κύριος ἐλάλησε, εἰς ἦχον, πλ. β΄, ψάλλομεν, ὡσαύτως καὶ τὸ ἔσχατον ἀντίφωνον. Τὸ ὁ αἰνεῖται τὸν κύριον ἐκ τῶν οὐρανῶν, εἰς τὸν αὐτὸν ἦχον. Εἰ δὲ ἔστι θεὸς κύριος, εἰς τὸν ρμθ΄, ψαλμόν, τό. Ἄσατε τῷ κυρίῳ, ἐναλλάσσεται τὸ μέλος. Ὁμοίως, καὶ εἰς τὸν ργ΄, ψαλμόν, τό. Αἰνεῖτε τὸν θεόν εἰ τύχῃ θεὸς κύριος, λέγομεν. Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. Ὀφειλόμενον δεῖ ἐστι καὶ τοῦτο γινώσκειν τοὺς ἀδελφοὺς, τοῦ μὴ ποιεῖν συντυχίας ἱσταμένους εἰς τοὺς χοροὺς τῆς ἐκκλη-

σίας. Ἀλλὰ μὴ ἐξέρχεσθαι τινὰ, μὴ δὲ εἰσέρχεσθαι ἄχρις ἂν πληρωθῇ ἡ ἀνάγνωσις. οὐ μὴν ἀλλὰ οὐδὲ εἰσέρχεσθαι ψάλλοντος τοῦ χοροῦ, ἐν ᾧ ἵσταται δηλονότι. Ἀλλὰ τοῦ ἑτέρου χοροῦ ἀρξαμένου ψάλλειν. Εἰσέρχεσθαι εἰς τὸ στασίδιον αὐτοῦ ποιῶν μετάνοιαν τοῖς ἀδελφοῖς.

Δεῖ δὲ καὶ τὸν ἐκκλησιάρχην περὶ τούτου φροντίζειν πάντοτε καὶ παραγγέλλειν τοῖς ἐν τῷ νάρθηκι ἱσταμένοις ἀδελφοῖς, ἵνα μὴ ἐῶσι τοὺς ἐρχομένους εὐχῆς χάριν ποιῆσαι μοναχούς, εἴτε κοσμικούς, εἰσέρχεσθαι ἐν τῷ ναῷ ψαλλούσης τῆς ἐκκλησίας, ὅπερ ἐστὶν ἀταξίας σημεῖον. Ἀλλ' ὀφείλουσιν ἐν τῷ νάρθηκι προσκαρτερεῖν, ἄχρι τῆς ἀπολύσεως.

Χρὴ δὲ εἰδέναι, ὅτι ὁ χορὸς ὁ ἐναρξάμενος εἰς τὸ λυχνικὸν τῆς στιχολογίας, ὁ τοιοῦτος πάλιν ἀπάρχεται αὐτῆς καὶ εἰς τὸν ὄρθρον. Ὁ αὐτὸς ποιεῖ καὶ τὴν ἔναρξιν τῶν ᾠδῶν. Τὸ προκείμενον· Καὶ τὸ Θεὸς κύριος. Ὁμοίως καὶ τὸ ἐξαποστειλάριον καὶ ἐν τῇ λειτουργίᾳ τὰ τυπικά. Ἐν τοῖς ἀποδείπνοις, τὸ, Μεθ' ἡμῶν ὁ θεός. Καὶ τὸ παναγία δέσποινα θῶ. Καὶ τὸ κύριε τῶν δυνάμεων. Πρὸς δὲ καὶ οἱ ὀφείλοντες ποιεῖν τὰς ἀναγνώσεις τοῦ ὄρθρου. Ἀλλὰ καὶ ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ, αἱ ὧραι οὕτως στιχολογοῦνται. Ὁ ἐναρξάμενος χορὸς εἰς τὸν ὄρθρον τό, Αἰνεῖτε τὸν κύριον, αὐτὸς ἀπάρχεται καὶ τῆς στιχολογίας, τῆς α΄, ὥρας τὸ ἀλληλούϊα τοῦ πλ. β΄ ἤχου. Εἰς δὲ τὴν τρίτην ὥραν, ἄρχεται ὁ ἕτερος χορὸς τὸ ἀλληλούϊα τοῦ β΄, καθίσματος, εἰς ἦχον πλ. β΄. Εἰς δὲ τὴν ς΄ ὥραν, ὁ πρῶτος χορός, τὰ πρῶτα

ἀλληλουϊάρια τοῦ ἤχου. Ὁ δὲ τὴν ἀκολουθίαν ἐναρξάμενος ποιεῖν μοναχός, ψάλλει τὸ προκείμενον τῆς προφητείας. Καὶ ἀναγινώσκει καὶ τὴν προφητείαν. ποιεῖ δὲ καὶ τὴν ἀνάγνωσιν εἰς τὸν κλίμακα. Εἰς δὲ τὴν θ΄, ὥραν ἀπάρχεται ὁ ἕτερος χορὸς τὸ α΄, ἀλληλούϊα τοῦ πλ. δ΄ ἤχου. Ὁ αὐτὸς χορὸς ποιεῖ καὶ τὴν κατάρξιν τῶν μακαρισμῶν. Ἀπὸ δὲ τοῦ λυχνικοῦ πάλιν γίνεται ἐναλλαγή. Δεῖ δὲ εἰδέναι, ὅτι τῇ ἁγίᾳ τῶν Χριστοῦ γεννῶν νηστείᾳ, καὶ τῶν ἁγίων ἀποστόλων, ὅτε τύχοι ἀλληλούϊα. Ποιοῦμεν τὰς συνήθεις μετανοίας. Κατὰ τὸν τύπον τῆς ἁγίας καὶ μεγάλης τεσσαρακοστῆς. Ἐκπληροῦντες καὶ ἐννάτας, κατὰ τὴν αὐτὴν ἡμέραν τοῦ ἀλληλουϊαρίου. Τὰς δὲ ὥρας ψάλλομεν. Ἄνευ στιχολογίας καὶ ἀναγνώσεως. Τῇ γὰρ ἁγίᾳ καὶ μεγάλῃ τεσσαρακοστῇ μόνῃ στιχολογοῦμεν εἰς τὰς ὥρας. Ἐπεὶ δὲ ἡ τῶν ὡρῶν διάταξις καὶ τῶν μετανοιῶν ἐν τῷ συναξαρίῳ τῆς μεγάλης μ΄, διαλαμβάνεται, πρώτας οὐ χρὴ ἐπαναλαμβάνειν. Περὶ δὲ τῶν μεσωρίων ὡς ἐκεῖσε μὴ ἀναταττομένων, δέον ἐστὶ δηλῶσαι. Μετὰ γὰρ τὴν τελευταίαν δυοκαιδεκάτην μετάνοιαν τῆς γ΄, ὥρας. λέγομεν τὴν εὐχὴν ταύτην. Δέσποτα θεὲ πάτερ παντοκράτορ, καὶ κύριε υἱὲ μονογενὲς Ἰησοῦ Χριστέ καὶ ἅγιον πνεῦμα, μία θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν. Καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας, ἀμήν. Εἶτα προσκυνήσομεν καὶ προσπέσωμεν, γ΄, καὶ μετανοίας, γ΄. Καὶ ἀρχόμεθα τοῦ κθ΄, ψαλμοῦ, Ὑψώσω σε κύριε ὅτι ὑπέλαβές με.

βές με καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς
μου. Εἶτα τό, λα΄. μακάριοι ὧν ἀ-
φέθησαν. Καὶ τό, ξ΄. Εἰσάκουσον
ὁ θεὸς τῆς δεήσεώς μου. Τὸ εἰσόδιον,
καὶ μετανοίας γ΄. Τροπάριον, ἦχος δ΄. Ὁ θεὸς
τῶν πατέρων ἡμῶν. Δόξα. Οἱ μάρτυ
ρές σου κύριε. Καὶ νῦν. Τεῖχος ἀκαταμά
χητον. Τὸ κύριε ἐλέησον, μ΄. Καὶ λέ
γονται στίχοι καὶ μετανοίας μεγάλας τρεῖς
μόνας. Συνάπτομεν δὲ καὶ τὴν ς΄, ὥ-
ραν. Δεῦτε προσκυνήσωμεν καὶ με
τανοίας γ΄. ψάλλοντες δ' αὐτὴν ὥς
περ ἐτάχθη τῇ μεγάλῃ μ΄. Ποιοῦντες
καὶ τὰς μετανοίας ἀπαραλλάκτως.
Μετὰ δὲ τὴν τελευταίαν μετάνοιαν,
ψάλλει τὴν προγραφεῖσαν εὐχήν.
Δεῦτε προσκυνήσωμεν γ΄. Καὶ με
τανοίας μεγάλας γ΄. Καὶ ψάλλομεν
τὸν νε΄, ψαλμόν. ἐλέησόν με ὁ θεός,
ὅτι κατεπάτησέ με ἄνθρωπος. καὶ τὸν, νϛ΄.
Καὶ τὸν νϛ΄. καὶ τὸν ξθ΄. Ὁ θεὸς εἰς τὴν βοή
θειάν μου. Τὸ εἰσόδιον, μετανοίας γ΄.
Καὶ τροπάριον ἦχος τοῦ κατὰ τὴν μονὴν
ἁγίου. Δόξα, Τὰς ἀλγηδόνας τῶν
ἁγίων σου. Καὶ νῦν. Θεοτοκίον.

Τῇ πρεσβείᾳ κύριε πάντων, Τὸ κύριε ἐλέη
σον μ΄. καὶ μετανοίας μεγάλας γ΄.
Εἰ δὲ ἔστι Χριστοῦ, ὁ ναός. ἢ ἁγία τριάς. ἢ
θεοτόκος. Λέγεται πρῶτον. Σῶσον κύριε τὸν
λαόν σου. Δόξα. Τὰς ἀλγηδόνας
τῶν ἁγίων σου. Καὶ νῦν, Τῇ πρεσβείᾳ
κύριε πάντων τῶν ἁγίων. Συνάπτο-
μεν δὲ καὶ τὴν θ΄, ὥραν. Μετὰ τοῦ
μεσωρίου αὐτῆς, ὡς καὶ ἐν ταῖς λοι-
παῖς ὥραις, λέγοντες καὶ τὰ τροπάρια ταῦ-
τα. Βλέπων ὁ λῃστὴς τόν. Δόξα καὶ
νῦν. Θεοτοκίον. Τὸν ἀμνὸν καὶ ποιμένα καὶ
σωτῆρα τοῦ κόσμου. Ἀπὸ δὲ τῆς ιβ΄,
μετανοίας. Μεσώριον τῆς θ΄, ὥρας.
Ψαλμὸς ριβ΄. Αἰνεῖτε παῖδες
κύριον.

κύριε. Ψαλμὸς ρλβ΄. Ἐξομολο
γήσομαί σοι κύριε. Καὶ τόν, ρλθ΄. Ἐξε-
λοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ. λέγοντες
στίχους καὶ τὸν ν΄. Ἐλέησόν με ὁ θεὸς
κατὰ τὸ μέγα ἔλεός σου. Εἶτα τὸ
τρισάγιον. Καὶ μετανοίας γ΄. Με-
τὰ δὲ τὸ πάτερ ἡμῶν, λέγε τροπάριον, ἦχος πλ.
Ἐν μέσῳ δύο λῃστῶν. Δόξα. Ὁ
φωτίσας τὰ ἐπίγεια. Καὶ νῦν. Θεοτοκίον.
μὴ παρίδῃς με δεόμενον, καί. Τὸν
δι' ἡμᾶς σταυρωθέντα. Τὸ κύριε ἐλέησον, μ΄,
καὶ μετανοίας μεγάλας γ΄. Καὶ ἀπερ
χόμενοι εἰς τὰ ἑαυτῶν στασίδια. ψάλ
λομεν τὰ τυπικὰ χῦμα. Εἶθ' οὕτως
ἀναγινώσκεται ὁ ἀπόστολος, καὶ τὸ
εὐαγγέλιον τοῦ ὕψους. Καὶ πάλιν
ἀπερχόμενοι ἐν τοῖς ψιαθίοις. καὶ ἱστά
μενοι κατὰ τὴν προτέραν τάξιν λέ
γοντες τό. Μνήσθητι ἡμῶν κύριε, χῦμα.
Καὶ μετανοίας γ΄. Χορὸς ὁ ἐπουρά
νιος ὑμνεῖ σε καὶ λέγει στίχους. Προσέλ-
θετε πρὸς αὐτὸν καὶ φωτίσθητε.
Χορὸς ὁ ἐπουράνιος. Δόξα. Χο-
ρὸς ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων.
Καὶ νῦν. Πιστεύω εἰς ἕνα θεόν. Ἄνες,
ἄφες, συγχώρησον. Τὸ πάτερ ἡμῶν.
Κοντάκιον, τοῦ κατὰ τὴν ἡμέραν ἁγίου,
Δόξα. Μετὰ τῶν ἁγίων ἀνάπαυ-
σον. Καὶ νῦν. Ἡ προστασία τῶν χρι-
στιανῶν ἀκαταίσχυντε. Τὸ κύριε ἐλέη-
σον μ΄. καὶ ἐπεύχεται ὁ ἱερεύς, καὶ με-
τανοίας μεγάλας γ΄. Εἶτα τὸ εἴη τὸ
ὄνομα κυρίου εὐλογημένον, ἐκ τρίτου.
καὶ μετανοίας, γ΄. Καὶ ὁ λγ΄, ψαλ-
μός. Εὐλογήσω τὸν κύριον ἐν παντὶ
καιρῷ. Καὶ γίνεται ἀπόλυσις. Καὶ
ἀπερχόμεθα ἐν τοῖς κελλίοις. Μετὰ
δὲ τὸ ἀδειάσαι ἡμᾶς μικρόν. Σημαί
νει τὸ μέγα. Καὶ συναγόμεθα ἐν τῇ
ἐκκλησίᾳ. Καὶ εἰ μὲν ἔστιν ἄλλη

b B

λουΐας, γίνεται ἡ ἀκολουθία ὥσπερ γέγραπται. Εἰ δὲ θεὸς κύριος, γίνεται ἑορτάσιμος. Ἔχει δὲ ἡ τῶν χ[illegible] μ΄. ἀλληλούϊα, ιε΄.

Δεῖ δὲ εἰδέναι, ὅτι ὅτε ἐστὶν θεὸς κύριος, μετανοίας ἐν τῇ ἐκκλησίᾳ οὐ ποιοῦμεν, πλὴν πρὸ τῆς ἐνάρξεως. Ἔμπροσθεν τοῦ βήματος δ΄. Καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν. Εἰς δὲ τὴν ἀπόλυσιν, μετανοίας μεγάλας γ΄. Ἐν δὲ τοῖς κελλίοις γίνονται ὡς ὁ θεὸς παρέχει ἰσχὺν ἑκάστῳ. Καὶ ὁ ὡς προεστὼς διακείμενος. Αὕτη ἡ ἀκολουθία γίνεται ἀπαραλλάκτως, καὶ ἐν τῇ μνείᾳ τῶν ἁγίων ἀποστόλων. Τὰ δὲ μεσώρια τῆς γ΄, ὥρας καὶ ς΄, τὸ δὲ τότε ἐν τῇ ἐκκλησίᾳ ψάλλονται. ἀπὸ τῶν ἀγρυπνιῶν καὶ τῶν ἑορτῶν ἐν αἷς γίνονται δοξολογίαι. Τὸ δὲ μεσώριον τῆς πρώτης ὥρας, ἐστὶν οὕτως. Μετὰ τὸ ἀπολῦσαι τὸν ὄρθρον, ἀπερχόμεθα ἐν τοῖς κελλίοις. Καὶ ποιοῦντες τρισάγιον, λέγομεν· Δεῦτε προσκυνήσωμεν ἐκ τρίτου. καὶ ἀρχόμεθα ψαλμὸν με΄. Ὁ θεὸς ἡμῶν καταφυγή, καὶ δύναμις. Καὶ ψαλμὸς ϟα΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ. Καὶ τὸν ϟβ΄. Ὁ κύριος ἐβασίλευσεν. Τρισάγιον, καὶ τροπάριον κατανυκτικόν. Ἐλέησον ἡμᾶς κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν θεοτοκίον, τὸ Εὐσπλαγχνίας τὴν πύλην. Τὸ κύριε ἐλέησον μ΄, καὶ εὐχὴν οἵαν ἕκαστος βούλεται.

Οἱ δὲ θέλοντες σωθῆναι τῶν ἰδίων κελλίων οὐκ ἐξέρχονται, ἄχρι τοῦ κρούσματος τῆς ἐκκλησίας. ἀλλ' οἱ μὲν ἀσχολοῦνται εἰς ἐργόχειρον, οἱ δὲ εἰς ἀνάγνωσιν, ἕτεροι δὲ εἰς ψαλμῳδίας εἰδήσει τοῦ προεστῶτος. οἱ δὲ διακονηταὶ σχολάζουσιν ἐν ταῖς διακονίαις αὐτῶν.

Ἰστέον καὶ τοῦτο, ὅτι ἐν τῇ ἐκκλησιαστικῇ ἀκολουθίᾳ, εἰς μὲν τὸν δεξιὸν χορὸν ἵσταται ὁ ἐκκλησιάρχης. εἰς δὲ τὸν ἀριστερόν, ὁ ἐπιστημονάρχης. τῇ δὲ μεγάλῃ μ΄. σφραγίζει ὁ προεστὼς ἐξυπνιστὴν ἐν τῇ ἐκκλησίᾳ. Ὃς ἐν ἑκάστῃ ἀναγνώσει, μετὰ τὸ ἀναγνῶναι μικρόν. Ἀνίσταται τοῦ ἰδίου τόπου. Καὶ ποιεῖ τρεῖς μετανοίας εἰς τὸ μέσον. Ἔπειτα διέρχεται τοὺς ἀδελφοὺς ἡσυχῇ, καὶ ὃν ἂν εὕρῃ καθεύδοντα καὶ κοιμώμενον, νύσσει αὐτὸν ἠρεμαίως. ὁ δὲ ἀναστὰς ἔρχεται εἰς τὸ μέσον, καὶ ποιεῖ γονυκλισίας τρεῖς καὶ εἰς τοὺς χοροὺς πρὸς μίαν. Ὁ δὲ τοιοῦτος ἐξυπνιστής, καὶ τὸν ὅλον χρόνον συνάγει τοὺς ἀδελφοὺς ἐν τῇ ἐκκλησίᾳ.

Δεῖ γινώσκειν, ὅτι πάσας τὰς κυριακὰς ἐν αἷς ψάλλεται ἡ ὀκτώηχος, λέγομεν ἀναστασίμους κανόνας δύο τῆς θεοτόκου. Καὶ τοῦ μηναίου. Τῷ δὲ κυρίῳ ᾄσωμεν οὐ λέγομεν. Τῇ δευτέρᾳ. Κατανυκτικόν. Τῶν ἀσωμάτων. Καὶ τοῦ μηναίου. Τῇ τρίτῃ. Κατανυκτικόν. Τοῦ προδρόμου. Καὶ τοῦ μηναίου. Τῇ τετράδι. Σταυρώσιμον. Τῆς θεοτόκου. Καὶ τοῦ μηναίου. Τῇ πέμπτῃ. Τῶν ἁγίων ἀποστόλων. Τοῦ ἁγίου νικολάου. Καὶ τοῦ μηναίου. Τῇ παρασκευῇ. Σταυρώσιμον. Τῆς θεοτόκου. Καὶ τοῦ μηναίου. Τῷ σαββάτῳ. Τοῦ μηναίου. Τοῦ κατὰ τὴν μονὴν ἁγίου. Καὶ νεκρώσιμον.

Εἴδησις

Εἴδησις τῆς ἀκολουθίας τῶν σαββάτων τοῦ ὅλου ἐνιαυτοῦ, ἂν τύχῃ μνήμη ἁγίου. Κεφά. ς'.

Ἡ δὲ ἀκολουθία τῶν σαββάτων τοῦ ὅλου ἐνιαυτοῦ, ἐν οἷς ὑπάρχει μνήμη ἁγίου μεγάλη, γίνεται οὕτως.

Δεῖ τὸν ἐκκλησιάρχην, πρὸ τοῦ σημᾶναι τὸν ἑσπερινόν. Ἀναλαμβάνειν ἐπὶ χεῖρας τὸ παρὸν τυπικόν. Καὶ εἰ μὲν εὕρῃ τὸν ἐνορδίνου λαχόντα ἅγιον τῷ σαββάτῳ ἔχοντα θεὸς κύριος, ὀφείλει ποιεῖν τὴν ἀκολουθίαν ταύτην. Τῇ παρασκευῇ ἑσπέρας. Ψάλλομεν συνήθως τὸν προοιμιακὸν ψαλμόν. Καὶ στιχολογοῦμεν τὰ πρὸς κύριον. Εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς', καὶ δευτεροῦμεν τὰ προσόμοια τοῦ ἁγίου. Καὶ εἰ μὲν ἔχει ἰδιόμελον, λέγεται εἰς τὸ δόξα. Εἶτα θεοτοκίον, δόξα καὶ νῦν θ', τοῦ ἐνορδίνου ἤχου τὸ πρῶτον. Εἰς τὸν στίχον στιχηρὸν μαρτυρικὸν τοῦ ἤχου. Καταλιμπάνοντες τὸ πρῶτον. Δόξα ἰδιόμελον τοῦ ἁγίου εἰ ἔχει. Εἶτα θεοτοκίον, δόξα καὶ νῦν θεοτοκίον. Τὸ νῦν ἀπολύεις. Εἶτα τροπάρια χρή, ὡς εἰ μὴ τύχῃ.

Ἀποστόλου μνήμη, ἢ ἐκ τῶν μεγάλων ἁγίων ἐν σαββάτῳ, θεὸς κύριος, οὐ λέγομεν. Ἀλλὰ ψάλλομεν τὸ ἀλληλούια. Εἰς τὸν ὄρθρον τὸν συνήθη ἑξάψαλμον. Εἰς τὸ θεὸς κύριος, τροπάριον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου. Εἶτα στιχολογοῦμεν τὸ εἶπεν ὁ κύριος τῷ κυρίῳ μου. Λέγοντες καὶ τὰ ἀλληλουιάρια τοῦ λαχόντος ἤχου τῆς ἑβδομάδος. Μετὰ τὴν στιχολογίαν, κάθισμα τῆς ὀκτωήχου, μαρτυρικὰ δύο. Δόξα καὶ νῦν θεοτοκίον τὸ α', τοῦ ἤχου. Καὶ γίνεται ἀνάγνωσις. Μετὰ δὲ ταῦτα, στιχολογοῦμεν τὸν ἄμωμον, τὸ ρ', ιβ', καὶ τὸ ν'. Καὶ τὸ νεκρώσιμον. Δόξα καὶ νῦν θ'. Ἀνάγνωσις καὶ ὁ ν' ψαλμός. Εἶτα οἱ κανόνες. Ψάλλομεν δὲ κανόνας γ'.

Τὸν

Τοῦ κατὰ τὴν ἡμέραν ἁγίου εἰς τὸ μηναῖον. Ὁ αὐτὸς γὰρ προηγεῖται πάντοτε ἐν τοῖς σάββασι. Ἕτερα τοῦ ἁγίου τῆς μονῆς, νεκρώσιμον. Ἀπὸ γ' ᾠδῆς, τὸ κάθισμα τοῦ μηναίου. Ἀφ' ἕκτης τὸ κοντάκιον τοῦ μηναίου εἰ ἔχει. Εἶτα θεοτοκίον τοῦ ἁγίου τῆς μονῆς, ἐν ᾗ παροικοῦμεν. Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις. Εἰς τοὺς αἴνους, στιχηρὰ οὐ λέγομεν. Εἰς δὲ τὸν στίχον, μαρτυρικὰ γ', τὸ γὰρ α', καταλιμπάνεται. Δόξα ἰδιόμελον εἰ ἔχει ὁ ἅγιος. Εἶτα θεοτοκίον. Ἀπὸ τοῦ πάτερ ἡμῶν. Τροπάριον τοῦ ἁγίου καὶ ἐκτενή. Καὶ ἐπεύχεται ὁ ἱερεύς. Ὁ ὢν εὐλογητὸς ὁ θεὸς ἡμῶν.

Καὶ συνάπτομεν τὴν α' ὥραν. Τὸν εἰ- ψαλμόν. Καὶ λέγει ὁ ἱερεύς. Ὁ θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι. Καὶ ἡ ἀπόλυσις γίνεται. Καὶ ἡ συνήθης λιτὴ ἐν τῷ νάρθηκι. Εἰς τὴν λειτουργίαν τὰ τυπικὰ ὡς σύνηθες. Προκείμενον τοῦ κατὰ τὴν ἡμέραν ἁγίου. Ἀλληλούια τοῦ ἁγίου. Εὐαγγέλιον τῆς ἡμέρας καὶ τοῦ ἁγίου. Κοινωνικὸν τοῦ ἁγίου. Αὕτη ἡ ἀκολουθία γίνεται ἐν τοῖς σάββασιν, ὅτε τύχῃ θεὸς κύριος. Εἰ δὲ τύχῃ ἐν σαββάτῳ δεσποτικὴ ἑορτή, τελεῖται ἡ ἀκολουθία τῆς ἑορτῆς. Ὅτε δὲ τύχῃ ἐν σαββάτῳ ἀλληλούια, εἰς τὴν ἀρχὴν τοῦ ἑσπερινοῦ τῆς παρασκευῆς, τρισάγιον οὐ ποιοῦμεν, ἀλλὰ ἀρχόμεθα τοῦ· Δεῦτε προσκυνήσωμεν. Λέγοντες αὐτὸ γ'. Εἶτα τὸν προοιμιακὸν ψαλμόν, καὶ στιχολογοῦμεν τὰ Πρὸς κύριον. Εἰς δὲ τὸ κύριε ἐκέκραξα, στιχηρὰ τοῦ μηναίου προσόμοια γ', πρὸς μίαν. Μαρτυρικὰ τῆς ὀκτωήχου γ', τὸ α', τὸ β', καὶ τὸ τρίτον. Δόξα καὶ νῦν θ', τὸ α'. Εἰς τὸν στίχον μαρτυρικὸν τοῦ ἤχου, καὶ νεκρώσιμα β'.